Landesbibliothek Oldenburg

Digitalisierung von Drucken

# Gottlieb Christophori Harles Anthologia Graeca Poetica

Harless, Adolf Gottlieb Christoph

Baruthi, MDCCXCII.

VD18 13527622

Eivsdem Carmen I.

urn:nbn:de:gbv:45:1-18225

Visual Library

Λωτόν τ' εὐχαίτην Χαιρήμονος ἐν φλογὶ μίξας
Φαιδίμου, Ἀνταγόρου τ' εὔστροφον ὄμμα βοός,
Τόν τε φιλάκρητον Θεοδωρίδεω νεοθαλῆ
Ἕρπυλλον, κυάνων τ' ἄνθεα Φανίεω,
Ἄλλων τ' ἔρνεα πολλὰ νεόγραφα· τοῖς δ' ἅμα Μούσης
Καὶ σφετέρης ἔτι που πρώϊα λευκόϊα.
Ἀλλὰ φίλοις μὲν ἐμοῖσι φέρω χάριν· ἐστὶ δὲ μύσταις
Κοινὸς ὁ τῶν Μουσέων ἡδυεπὴς στέφανος.

---

## EIVSDEM CARMEN II.

### Εἰς τὸ Ἔαρ Εἰδύλλιον *).

Χείματος ἠνεμόεντος ἀπ' αἰθέρος οἰχομένοιο,
Πορφυρέη μείδησε φερανθέος εἴαρος ὥρη.
Γαῖα δὲ κυανέη χλοερὴν ἐστέψατο ποίην,
Καὶ φυτὰ θηλήσαντα νέοις ἐκόμησε πετήλοις.
Οἱ δ' ἁπαλὴν πίνοντες ἀεξιφύτου δρόσον Ἠοῦς
Λειμῶνες γελόωσιν ἀνοιγομένοιο ῥόδοιο.
Χαίρει καὶ σύριγγι νομεὺς ἐν ὄρεσσι λιγαίνων,
Καὶ

*) Hoc idyllion, quod quidem elegans est et amoenum, sed abundat quoque ingratis repetitionibus et imaginibus coaceruatis nec omnino exornatis, praeter Brunck. et Manson. seorsim edidit gr. et lat, cum adnotationibus vberrioribus, *Albert. Christ. Meinecke*, Gottingae 1788. mai. 8. *Koeppen* illi locum dedit in Griechische Blumenlese, part. III. p. 206. sqq. Germanice vertit *Gedicke* in Leipz. Musen-Almanach. 1781.

Καὶ πολιοῖς ἐρίφοις ἐπιτέρπεται αἰπόλος αἰγῶν.
Ἤδη δὲ πλώουσιν ἐπ' εὐρέα κύματα ναῦται
Πνοιῇ ἀπημάντῳ Ζεφύρου λίνα κολπώσαντες.
Ἤδη δ' εὐάζουσι φερεσταφύλῳ Διονύσῳ
Ἄνθει βοτρυόεντος ἐρεψάμενοι τρίχα κισσοῦ.
Ἔργα δὲ τεχνήεντα βοηγενέεσσι μελίσσαις
Καλὰ μέλει, καὶ σίμβλῳ ἐφήμεναι ἐργάζονται
Λευκὰ πολυτρήτοιο νεόῤῥυτα κάλλεα κηροῦ.
Πάντη δ' ὀρνίθων γενεὴ λιγύφωνον ἀείδει·
Ἀλκυόνες περὶ κῦμα χελιδόνες ἀμφὶ μέλαθρα,
Κύκνος ἐπ' ὄχθαισιν ποταμοῦ, καὶ ὑπ' ἄλσος ἀηδών.
Ἐι δὲ φυτῶν χαίρουσι κόμαι, καὶ γαῖα τέθηλε,
Συρίζει δὲ νομεὺς, καὶ τέρπεται εὔκομα μῆλα,
Καὶ ναῦται πλώουσι, Διώνυσος δὲ χορεύει,
Καὶ μέλπει πετεηνὰ, καὶ ὠδίνουσι μέλισσαι,
Πῶς οὐ χρὴ καὶ ἀοιδὸν ἐν εἴαρι καλὸν ἀεῖσαι;

---

## EIVSDEM CARMEN LXXXIIII.

1 Κηρύσσω τὸν ἔρωτα, τὸν ἄγριον. ἄρτι γὰρ ἄρτι
Ὀρθρινὸς ἐκ κοίτας ᾤχετ' ἀποπτάμενος.
Ἔστι δ' ὁ παῖς γλυκύδακρυς, ἀείλαλος, ὠκὺς, ἀθαμβὴς,

Σι-

1. Confer supra *Bion.* Idyll. VIII. et *Moschi* Idyll. I. 7. sqq.

2. ᾤχετ' ἀποπταμ.] v. ad *Theocrit.* I. 112. II. 7. et supra in hac Anthologia ad *Theocrit.* XI. 112. *celerrime auolauit.* Grotius vertit: *modo namque reliquit, Expandens alas, sole oriente torum.*